## Σηστός.

Δαρείος δε δια της Θρηίκης πορευόμενος απίκετο Ηροδ. IV 143 σημ. 255.
ες Σηστόν της Χερσονήσου. ενθεύτεν δε αυτός
μεν διέβη τῇσι νηυσί ες την Ασίην, λείπει δε στρα-
τηγόν εν τη Ευρώπη Μεγάβαζον κλπ.

κ οι δε εν τούτω τον Ελλήσποντον εζεύγνυσαν εκ της .. VII 33 σημ. 140.
Ασίης ες την Ευρώπην. έστι δε της Χερσονήσου της
εν Ελλησπόντω, Σηστού τε πόλιος μεταξύ κ Μαδύ-
του ακτή τρηχέα ες θάλασσαν κατήκουσα Αβύ-
δω καταντίον, ένθα μετά ταύτα, χρόνω ύστερον
ου πολλώ, επί Ξανθίππου του Αρίφρονος, Αθηναίων
άνδρα Πέρσην λαβόντες Σηστού ύπαρχον ζώντα
προς σανίδα διεπασσάλευσαν, ός κ ες του Πρωτεσίλε-
ω το ιρόν το ες Ελαιούντα αγινεόμενος γυναίκας
αθέμιτα έργα έρδεσκε. Ες ταύτην ων την ακτήν
εξ Αβύδου ορμεώμενοι εγεφύρουν τοίσι προσεκέε-
το, την μεν λευκολίνου Φοίνικες την δε ετέρην
την βυβλίνην Αιγύπτιοι. έστι δε επτά στάδιοι εξ
Αβύδου ες την απαντίον. κ δη εζευγμένου του πόρου
επιγενόμενος χειμών μέγας συνέκοψέ τε εκείνα πάν-
τα κ διέλυσε κλπ.

Περί της επί τούτου αρχής του Ξέρξου της ζεύξεως του
Ελλησπόντου κ της κατασκευής δύο νέων γεφυρών
κ της διαβάσεως του στρατού άρα εν τη Θρακική Χερ-
σόνησος Σαρδέων [illegible]

# Σηστός.

Ηροδ. IX 115 σελ 342. Οι μεν δη (οι αμφί Λευτυχίδην Πελοποννήσιοι) απέπλωον, Αθηναίοι δε εκ της Αβύδου διαβάντες ες την Χερσόνησον Σηστόν επολιόρκεον. ες δε την Σηστόν ταύτην, ως εόντος ισχυροτάτου τείχεος των ταύτη, συνήλθον ως ήκουσαν παρεί-ναι τους Έλληνας ες τον Ελλήσποντον, έκ τε των άλλων των περιοικίδων και δη και εκ Καρδίης πό-λιος Οιόβαζος ανήρ Πέρσης, ος τα εκ των γεφυ-ρέων όπλα ενθαύτα ην κεκομικώς. είχον δε ταύ-την επιχώριοι Αιολέες, συνήσαν δε Πέρσαι τε και των άλλων συμμάχων συχνός όμιλος.

116 σελ 343. Εσύλη δε εδόθη τα χρήματα (παρα τε Ξέρξεω τα εν Ελαιούντι ιερού του Πρωτεσιλάου εκ των Αρταΰ-κτην ύπαρχον του νομού τούτου) εξ Ελαιούντος ες Σηστόν εξεφόρησε (ο Αρταΰκτης)

119 σελ 344. Μετά ταύτα πολιορκηθείς ύστερον υπό των Αθη-ναίων και συλληφθείς ήχθη ες Σηστόν μετά των άλλων Περσών όσο των εκράτησαν.

Σηστός. ἡ. γ. ὁ.

κ αρα Ελαιους. Θουκυδ. VIII.102 Σελ 275

οἱ δὲ Ἀθηναῖοι και οἱ ἀπὸ Ἰωνίας και Ἑλλησπόντου . . . . I 89. Σελ 53
ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑ-
πομείναντες Σηστὸν ἐπολιόρκουν Μή-
δων ἐχόντων, και ἐπιχειμάσαντες εἷλον αὐ-
τὴν ἐκλιπόντων τῶν βαρβάρων, και μετὰ
τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕ-
καστοι κατὰ πόλεις.

Στρομβιχίδης δὲ (στρατηγὸς ~~Σπαρτιατῶν~~ Ἀθηναίων) ἐκ . . . VIII.62
τῆς Χίου . . . βοηθήσας . . . και αὐτοβοεὶ Σελ 245
Λάμψακον ἀτείχιστον οὖσαν ἑλὼν . . . .
. . . . ἐς Ἄβυδον ἦλθε, και ὡς οὔτε προσε-
χώρουν οὔτε προσβάλλων ἐδύνατο ἑλεῖν, ἐς
τὸ ἀντιπέρας τῆς Ἀβύδου ἀποπλεύσας Ση-
στὸν πόλιν τῆς Χερσονήσου, ἥν ποτε Μῆ-
δοι εἶχον, καθίστατο φρούριον και φυλακὴν τοῦ
παντὸς Ἑλλησπόντου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Σηστός. ἤ γ'.

Θουκ. VIII. 102 Σελ. 275

οἱ δ' Ἀθηναῖοι ἐν τῇ Σηστῷ δυοῖν δεούσαις εἴκοσι ναυσὶν ὄντες, ὡς αὐτοῖς οἵ τε φρυκτωροὶ ἐσήμαινον καὶ ᾐσθάνοντο τὰ πυρὰ ἐξαίφνης πολλὰ ἐν τῇ πολεμίᾳ φανέντα, ἔγνωσαν ὅτι ἐσπλέουσιν οἱ Πελοποννήσιοι, καὶ τῆς αὐτῆς νυκτὸς ὡς εἶχον τάχους ὑπομίξαντες τῇ Χερσονήσῳ, παρέπλεον ἐπ' Ἐλαιοῦντος, βουλόμενοι ἐκπλεῦσαι ἐς τὴν εὐρυχωρίαν τὰς τὰς τῶν πολεμίων ναῦς.

- - - - -

...104. Σελ. 276. ΚΑ^ον ἔτος τοῦ Πελοπον. πολέμ.

Μετὰ δὲ τοῦτο ἐπισχόντες χρόνον τινά· οἱ Ἀθηναῖοι παρέπλεον ἐπὶ κέρως ταξάμενοι παρ' αὐτὴν τὴν γῆν ἐπὶ τῆς Σηστοῦ, οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐκ τῆς Ἀβύδου ἀντανῆγον καὶ αὐτοί, καὶ ὡς ἔγνωσαν ναυμαχήσοντες, παρέτειναν τὸ κέρας οἱ μὲν Ἀθηναῖοι παρὰ τὴν Χερσόνησον ἀρξάμενοι ἀπὸ Ἰδάκου μέχρι Ἀρριανῶν, νῆες ἓξ καὶ ἑβδομήκοντα, οἱ δ' αὖ Πελοποννήσιοι ἀπὸ Ἀβύδου μέχρι Δαρδάνου, νῆες ὀκτὼ καὶ ὀγδοήκοντα. κέρας δὲ τοῖς μὲν Πελοποννησίοις εἶχον τὸ μὲν δεξιὸν Συρακόσιοι, τὸ δ' ἕτερον αὐτὸς Μίνδαρος καὶ τῶν νεῶν αἱ ἄριστα πλέουσαι, Ἀθηναίοις δὲ τὸ μὲν εὐω-

Σικελία η γό. 28

γέρας Θράσυλος, ο δε Θρασύβουλος το δεξιόν· οι
δε άλλοι στρατηγοί ως έκαστοι διετάξαντο. επειγομέ-
νων δε των Πελοποννησίων πρότερα τε ξυμμεί-
ξαι, και κατά μεν το δεξιόν των Αθηναίων υπερ-
σχόντες αυτοί τω ευωνύμω αποκλήσαι τους έξω
αυτών έκπλου, ει δύναιντο, κατά δε το μέσον εξώ-
σαι προς την γην ουχ έκας ούσαν, οι Αθηναί-
οι γνόντες, ή μεν εβούλοντο αποφράξασθαι αυ-
τούς οι εναντίοι, αντεπεξήγον και περιεγίγνοντο
τω πλω, το δ' ευώνυμον αυτοίς υπερεβεβλήκει
ήδη την άκραν ή Κυνός σήμα καλείται. τω
δε μέσω, τοιούτου ξυμβαίνοντος, ασθενέσι και διε-
σπασμέναις ταις ναυσί καθίσταντο, άλλως τε
και ελάσσοσι χρώμενοι το πλήθος και του χωρίου
του περί το Κυνός σήμα οξείαν και γωνιώδη
την περιβολήν έχοντος, ώστε τα εν τω επέκει-
να αυτού γιγνόμενα μη καθορά είναι.
105. Προσπεσόντες ουν οι Πελοποννήσιοι κατά
το μέσον εξέωσάν τε ες το ξηρόν τας ναυς
των Αθηναίων και ες την γην επεξέβησαν, τω
έργω πολύ περισχόντες. αμύναι δε τω μέσω ούθ'
οι περί τον Θρασύβουλον από του δεξιού υπό πλή-
θους των επικειμένων νεών εδύναντο, ούθ' οι π-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σπηλιάς ή γ'.

ρι τον Θράσυλλον ἀπὸ τῆς ἐπικαταβάσεως (ἀφανὲς δὲ γὰρ ἦν διὰ τὴν ἄκραν τὸ Κυνὸς σῆμα κ. ἅμα οἱ Συρακόσιοι κ. οἱ ἄλλοι οὐκ ἐλάσσους ἐπιτεταγμένοι εἶργον αὐτούς) πρὶν οἱ Πελοποννήσιοι διὰ τὸ κρατήσαντες ἀδεῶς ἄλλος ἄλλῃ ναῦν διώκοντες ἤρξαντο μέρει τινὶ σφῶν ἀτακτότεροι γενέσθαι. γνόντες δὲ οἱ περὶ τὸν Θρασύβουλον, τὰς ἐπὶ σφᾶς ναῦς ἐπεχούσας, παυσάμενοι τῆς ἐπεκτάσεως ἤδη τοῦ κέρως κ. ἐπαναγαγόμενοι, εὐθὺς ἐναυμάχουν τε κ. τρέψαντες, κ. τὰς κατὰ τὸ νικῆσαν τῶν Πελοποννησίων μέρος ὑπολαβόντες πεπλανημένας ἔκοπτόν τε κ. ἐς φόβον τὰς πλείους ἀμαχεὶ καθίστασαν. οἵ τε Συρακόσιοι ἐτύγχανον κ. αὐτοὶ ἤδη τοῖς περὶ τὸν Θράσυλλον ἐνδεδωκότες κ. μᾶλλον ἐς φυγὴν ὁρμήσαντες, ἐπειδὴ κ. τοὺς ἄλλους ἑώρων.

105. Γεγενημένης δὲ τῆς τροπῆς, κ. καταφυγόντων τῶν Πελοποννησίων πρὸς τὸν Μήδιον ποταμὸν τὸ πρῶτον, ὕστερον δὲ ἐς Ἄβυδον, ναῦς μὲν ὀλίγας ἔλαβον οἱ Ἀθηναῖοι (στενὸς γὰρ ὢν ὁ Ἑλλήσποντος βραχείας τὰς ἀποφυγὰς τοῖς ἐναντίοις παρεῖχε) τὴν μέντοι νίκην ταύτην τῆς ναυμαχίας ἐπικαιροτάτην δὴ ἔσχον. φοβούμενοι γὰρ τέως τὸ τῶν Πελοποννησίων ναυτι-

Σκολίας ή γ΄ 

καὶ διά τε τὰ κατὰ βραχὺ σφάλματα καὶ διὰ
τὴν ἐν Σικελίᾳ ξυμφορὰν ἀπηλλάγησαν τε
σφᾶς τε αὐτοὺς καταμέμφεσθαι καὶ τοὺς πολεμί-
ους ἔτι ἀξίους τε ες τὰ ναυτικὰ νομίζειν. ναῦς
μέντοι τῶν ἐναντίων λαμβάνουσι Χίας μὲν
οκτώ, Κορινθίας δὲ πέντε, Αμπρακιώτιδας
δὲ δύο καὶ Βοιωτίας δύο, Λευκαδίων δὲ καὶ
Λακεδαιμονίων καὶ Συρακοσίων καὶ Πελληνέ-
ων μίαν ἑκάστων· αὐτοὶ δὲ πεντεκαίδεκα
ναῦς ἀπολλύασι. στήσαντες δὲ τροπαῖα ἐ-
πὶ τῇ ἄκρᾳ οὗ τὸ Κυνὸς σῆμα καὶ τὰ ναυάγια
προσαγαγόμενοι καὶ νεκροὺς τοῖς ἐναντίοις ὑπο-
σπόνδους ἀποδόντες ἀπέστειλαν καὶ ες τὰς Αθή-
νας τριήρη ἀγγελοῦσαν τὴν νίκην. οἱ δὲ ἀφικομέ-
νης τῆς νεὼς καὶ ἀνέλπιστον τὴν εὐτυχίαν ἀκού-
σαντες . . . . . πολὺ ἐπερρώσθησαν

. . . . .

107 Μετὰ δὲ τὴν ναυμαχίαν ἡμέρᾳ τετάρτῃ ὑ-
πὸ σπουδῆς ἐπισκευάσαντες τὰς ναῦς οἱ ἐν τῇ Ση-
στῷ Αθηναῖοι ἔπλεον ἐπὶ Κύζικον ἀφεστηκυῖ-
αν.

Σηστός.

........ συμμίξαντες δὲ ταῖς ναυσὶν οἱ Πε- Ξεν. Ἑλ. Ι, Α
λοποννήσιοι καὶ παραταξάμενοι πρὸς τὴν γῆν 8. Σελ. 2
ἐμάχοντο. Ἀθηναῖοι δὲ ἀπέπλευσαν, τριά-
κοντα ναῦς τῶν πολεμίων λαβόντες κε-
νὰς καὶ ἃς αὐτοὶ ἀπώλεσαν κομισάμενοι
εἰς Σηστόν .......

οἱ δ' ἐν Σηστῷ Ἀθηναῖοι αἰσθόμενοι
Μίνδαρον πλεῖν ἐπ' αὐτοὺς μέλλοντα ναυ-
σὶν ἑξήκοντα, νυκτὸς ἀπέδρασαν εἰς Καρ-
δίαν. ἐνταῦθα δὲ καὶ Ἀλκιβιάδης ἧκεν ἐκ
Κλαζομενῶν σὺν πέντε τριήρεσι καὶ ἐπα-
κτρίδι. πυθόμενος δὲ ὅτι αἱ τῶν Πελοποννη-
σίων νῆες ἐξ Ἀβύδου ἀνηγμέναι εἶεν
εἰς Κύζικον, αὐτὸς μὲν πεζῇ ἦλθεν εἰς
Σηστόν, τὰς δὲ ναῦς περιπλεῖν ἐκεῖσε ἐ-
κέλευσεν. ἐπεὶ δ' ἦλθον, ἀνάγεσθαι ἤ-
δη αὐτοῦ μέλλοντος ὡς ἐπὶ ναυμαχίαν ἐ-
πεισπλεῖ Θηραμένης εἴκοσι ναυσὶν ἀπὸ Μα-
κεδονίας, ἅμα δὲ καὶ Θρασύβουλος εἴκοσιν ἑ-
τέραις ἐκ Θάσου, ἀμφότεροι ἠργυρολογη-
κότες. Ἀλκιβιάδης δὲ εἰπὼν καὶ τούτοις διώκειν
αὐτὸν ἐξελομένοις τὰ μεγάλα ἱστία αὐτὸς ἐ-
πλευσεν εἰς Πάριον. ἢ ὅρα λ. Ἑλλήσποντος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Σηστός.

Ξεν. Ελ. Ι 1.36 Σελ. 7 — Και αυτού (Κλεάρχου του Λακεδαιμονίου) των νεών τρεις απόλλυνται εν τω Ελλησπόντω υπό των Αττικών εννέα νεών, αί αεί ενταύθα τα πλοία διεφύλαττον, αι δ' άλλαι έφυγον ες Σηστόν, εκείθεν δε ες Βυζάντιον εσώθησαν.

Α. 2. 12 Σελ 9 — Οι δ' Αθηναίοι τω νεκρώ υποσπόνδους (των Εφεσίων) απολαβόντες απέπλευσαν ες Νότιον. . . . . . . . . . . ορμούντες δε εν Μηθύμνη . . . είδον διαπλεούσας ες Έφεσον τας Συρακοσίας ναυς πέντε και είκοσι· επ' αυτάς αναχθέντες τέτταρας μεν έλαβον αυτάνδρους τας δ' άλλας κατεδίωξαν ες Έφεσον. . . . . . εντεύθεν δε έπλευσεν ες την Σηστόν προς το άλλο στράτευμα· εκείθεν δε άπασα η στρατιά διέβη εις Λάμψακον.

# Σηστός

Οι δ' Αθηναίοι κατά πόδας ορμώμενοι ωρμί-
σαντο της Χερρονήσου εν Ελαιούντι ναυσίν ο-
γδοήκοντα και εκατόν. ενταύθα δη αριστοποι-
ουμένοις αυτοίς αγγέλλεται τα περί Λάμψα-
κον, και ευθύς ανήχθησαν εις Σηστόν. εκεί-
θεν δ' ευθύς επισιτισάμενοι έπλευσαν εις
Αιγός ποταμούς αντίον της Λαμψάκου. διείχε
δ' ο Ελλήσποντος ταύτη σταδίους ως πεντεκαίδεκα.

Ξεν. Ελ. Β. 1 20 και 26

.......................................

........ Αλκιβιάδης δε κατιδών εκ των
τειχών τους μεν Αθηναίους εν αιγιαλώ ορμούντας
και προς ουδεμιά πόλει, τα δ' επιτήδεια εκ Σηστ.
μετιόντας πεντεκαίδεκα σταδίους από των νε-
ών, τους δε πολεμίους εν λιμένι και προς πόλει έ-
χοντας πάντα, ουκ εν καλώ έφη αυτούς ορ-
μείν, αλλά μεθορμίσαι εις Σηστόν παρήνει
πρός τε λιμένα και προς πόλιν· ου όντες ναυ-
μαχήσετε, έφη, όταν βούλησθε. οι δε στρατηγοί,
μάλιστα δε Τυδεύς και Μένανδρος, απιέναι αυ-
τόν εκέλευσαν· αυτοί γαρ νυν στρατηγείν, ουκ
εκείνον. και ο μεν ώχετο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Σηστός. (ὁ)

Ξεν. Ἑλ. Δ. 8. 3 Σελ. 135. Ἀπέβαινε δ' ἐπ' Ἔφεσον (Φαρνάβαζος) τῷ μὲν Κό-
νωνι δοὺς τετταράκοντα τριήρεις εἰς Σηστὸν εἶ-
πεν ἀπαντᾶν, αὐτὸς δὲ πεζῇ ἐπορεύετο ἐπὶ τὴν
αὑτοῦ ἀρχήν.

.. .. ..

Σελ. 136. ὁ δὲ Δερκυλίδας ὡς συνελέγησαν ὅσοι καὶ χρή-
σιμοι ἄνδρες εἰς τὴν πόλιν ἔλαβεν καὶ εἰς Ση-
στόν, καταντιπέρας ὄντα Ἀβύδου καὶ ἀπέχον-
τα οὐ πλεῖον ὀκτὼ σταδίων, ὅσοι τε διὰ Λα-
κεδαιμονίων γῆν ἔσχον ἐν Χερρονήσῳ, ἠθροί-
ζε, καὶ ὅσοι αὖ ἐκ τῶν ἐν τῇ Εὐρώπῃ πόλεων
ἁρμοσταὶ ἐξέπιπτον, καὶ τούτους ἐδέχετο, λέγων ὅτι οὐδ'
ἐκείνοις ἀθυμεῖν δέοι, ἐννοουμένους ὅτι καὶ ἐν τῇ Ἀσίᾳ,
ἣ ἐξ ἀρχῆς βασιλέως ἐστί, καὶ Τῆμνος οὐ μεγάλη
πόλις, καὶ Αἰγαιεῖς καὶ ἄλλα γε χωρία, ἃ δύναν-
ται οἰκεῖν οὐχ ὑπήκοοι ὄντες βασιλεῖ. καίτοι, ἔφη,
ποῖον μὲν ἂν ἰσχυρότερον Σηστοῦ λάβοιτε χω-
ρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ νεῶν
καὶ πεζῶν δεῖται, εἰ μέλλοι πολιορκηθήσεσθαι.
τούτους αὖ τοιαῦτα λέγων ἔσχε τοῦ μὴ ἐκπε-
πλῆχθαι. ὁ δὲ Φαρνάβαζος ἐπεὶ εὗρε τήν τε Ἀβυ

Σηστός (ὁ, ἡ).

δαν γ(ὰρ) τὸν Σηστὸν ἔτι ἔχοντα, προηγόρευσεν αὐ- Ξεν. Ἑλ. Δ.8
τοῖς ὡς εἰ μὴ ἐκπέμψοιεν τοὺς Λακεδαιμονίους, πόλε- 6. Στρ. 136.
μον ἐξοίσοι πρὸς αὐτούς. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κό-
νωνι μὲν προσέταξε φυλάττειν αὐτῶν τὴν θάλατταν
πλέων, αὐτὸς δὲ ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώ-
ραν.

ὅμως δὲ καὶ ἐν τῇ πρεσβείᾳ μεγάλου στρατηγοῦ Ξεν. Ἀγησ.
ἔργα διεπράξατο (Ἀγησίλαος) (ὅμως δὲ καὶ ἐν τῇ πρε- Β 26.
σβείᾳ μεγάλου) Αὐτοφραδάτης τε γὰρ πολιορκῶν
ἐν Ἄσσῳ Ἀριοβαρζάνην σύμμαχον ὄντα δεί-
σας Ἀγησίλαον φεύγων ᾤχετο. Κότυς δ' αὖ
Σηστὸν πολιορκῶν Ἀριοβαρζάνου ἔτι ὄντα
λύσας καὶ οὗτος τὴν πολιορκίαν ἀπηλλάγη.